ὡς δ' ἄφαντος ἔπελες, οὐδὲ ματρὶ πολλὰ μαιόμενοι
φῶτες ἄγαγον,
ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων,
ὕδατος ὅτι σε πυρὶ ζέοισαν ἀμφ' ἀκμάν
μαχαίρᾳ τάμον κατὰ μέλη,
τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν
σέθεν διεδάσαντο καὶ φάγον.

ἐμοὶ δ' ἄπορα γαστρίμαργον μακάρων τιν' εἰπεῖν· [ἐπ. β'.
ἀφίσταμαι·
ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρους.
εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμπου σκοποί
ἐτίμασαν, ἦν Τάνταλος οὗτος· ἀλλὰ γὰρ καταπέψαι
μέγαν ὄλβον οὐκ ἐδυνάσθη, κόρῳ δ' ἕλεν
ἄταν ὑπέροπλον, ἄν οἱ πατὴρ ὑπερκρέμασε καρτερὸν
αὐτῷ λίθον,
τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν εὐφροσύνας ἀλᾶται.

ἔχει δ' ἀπάλαμον βίον τοῦτον ἐμπεδόμοχθον, [στρ. γ'.
μετὰ τριῶν τέταρτον πόνον, ἀθανάτων ὅτι κλέψαις
ἁλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον
ἔθεσαν. εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεταί τι λαθέμεν ἔρδων,
ἁμαρτάνει.

V. 48. ὕδατος ζέοισα ἀκμά = ὕδωρ ἀκμαίως ζέον. Sch. „bei dem durch das Feuer im höchsten Grade siedenden Wasser."

V. 50. δεύτατα κρεῶν σέθεν. δεύτατα haben die meisten und besten Codd. Rauchenstein erklärt: „sie vertheilten und verzehrten das Letzte deines Fleisches, d. h. sie verzehrten dich bis auf das letzte Stück." Solche Worte sind ganz passend in dem Munde der neidischen Nachbarn und stimmen mit den übrigen starken Ausdrücken derselben, sowie mit dem folgenden γαστρίμαργον.

V. 53. οὐδὲν κερδαίνουσι κακηγοροῦντες. Sch.

V. 57. Die Strafe des Tantalos Hom. Od. 11, 582 ff. Pindar fügt noch einen ob seinem Haupte schwebenden Stein hinzu. Der doppelte Dativ οἱ und αὐτῷ könnte natürlich nicht stehen, wenn der Acc. κρατ. λίθον fehlte. Zu diesem zweiten, erklärenden Acc. wird der Dat. wiederholt, indem der Begriff des Verbs im Particip noch einmal hinzugedacht wird: ἄν οἱ π. ὑπερκρέμασε, κρ. αὐτῷ λίθον ὑπερκρεμάσας.

V. 60. μετὰ τριῶν τέταρτον πόνον sc. ἔχων. Zu μετὰ τριῶν suppl. ἀνδρῶν; dies sind die bekannten Tityos, Sisyphos, Ixion.

V. 64. Statt ἔθεσαν will Ahrens θῆσαν, *nutriverunt*.

τοὔνεκα προῆκαν υἱὸν ἀθάνατοί οἱ πάλιν
μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.
πρὸς εὐάνθεμον δ' ὅτε φυάν
λάχναι νιν μέλαν γένειον ἔρεφον,
ἑτοῖμον ἀνεφρόντισεν γάμον

Πισάτα παρὰ πατρὸς εὔδοξον Ἱπποδάμειαν [ἀντ. γ'.
σχεθέμεν. ἄγχι δ' ἐλθὼν πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ
ἄπυεν βαρύκτυπον
Εὐτρίαιναν· ὁ δ' αὐτῷ
πὰρ ποδὶ σχεδὸν φάνη.
τῷ μὲν εἶπε· Φίλια δῶρα Κυπρίας ἄγ' εἴ τι, Ποσείδαον,
ἐς χάριν
τέλλεται, πέδασον ἔγχος Οἰνομάου χάλκεον,
ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων
ἐς Ἆλιν, κράτει δὲ πέλασον.
ἐπεὶ τρεῖς τε καὶ δέκ' ἄνδρας ὀλέσαις
ἐρῶντας ἀναβάλλεται γάμον
[ἐπ. γ'.
θυγατρός. ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.
θανεῖν δ' οἷσιν ἀνάγκα, τί κέ τις ἀνώνυμον
γῆρας ἐν σκότῳ καθήμενος ἕψοι μάταν,
ἁπάντων καλῶν ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος ἄεθλος
ὑποκείσεται· τὺ δὲ πρᾶξιν φίλαν δίδοι.

V. 68. μέλαν γένειον ἔρεφον. Prolepsis, selten bei Pindar, häufig bei den Tragikern. — μέλας, Gegensatz πυῤῥός, Theokr. 6, 3. 15, 130.

V. 69. ἑτοῖμον. ἐπεὶ πᾶσι παρέκειτο, ἆθλος γὰρ ἦν τῷ νικῶντι. Sch.

V. 70. Πισ. πατρός, Oenomaos, der seine Tochter Hippodameia und seine Herrschaft dem versprach, der ihn im Wagenrennen besiegen werde. Wen er einholte, den durchbohrte er von hinten mit seinem Speer.

V. 80. ἐρῶντας schreibt der Scholiast. Die Codd. haben statt dessen μναστῆρας, das dem Metrum nicht entspricht.

V. 81 ff. „Grosse Gefahr nimmt einen schwachen Mann nicht an, lässt ihn nicht zu (λαμβάνει = δέχεται), sondern er bedarf dazu der Stärke und des Muthes."

V. 82. οἷσιν — τίς, Construction nach dem Sinn. Xen. Mem. 1, 2, 62. ἐάν τις φανερὸς γένηται κλέπτων, τούτοις θάνατός ἐστιν ἡ ζημία.

V. 83. καθήμενος, siehe zu Kallin. 1. — ἀνώνυμον γῆρας ἕψοι, ein namenloses Alter brüten, in namenl. Alter hinbrüten. Dissen macht aufmerksam auf die Häufung: ἀνώνυμον, ἐν σκότῳ, μάταν, ἁπάντων καλῶν ἄμμορος.

V. 85. πρᾶξιν, Gelingen. Hom. Il. 24, 524. Od. 10, 202.

ὣς ἔννεπεν· οὐδ' ἀκράντοις ἐφάψατ' ὦν ἔπεσι. τὸν μὲν
ἀγάλλων θεός
ἔδωκεν δίφρον τε χρύσεον πτεροῖσίν τ' ἀκάμαντας ἵππους.

ἕλεν δ' Οἰνομάου βίαν παρθένον τε σύνευνον· [στρ. δ'.
τέκε τε λαγέτας ἓξ ἀρεταῖσι μεμαότας υἱούς.
νῦν δ' ἐν αἱμακουρίαις
ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθείς,
τύμβον ἀμφίπολον ἔχων πολυξενωτάτῳ παρὰ βωμῷ.
τὸ δὲ κλέος
τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις
Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται
ἀκμαί τ' ἰσχύος θρασύπονοι·
ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον
ἔχει μελιτόεσσαν εὐδίαν

V. 88. ἕλεν, in zweifacher Bedeutung = καθεῖλε (Hom. Il. 11, 738.) und ἔλαβε.

V. 89. Die sechs Söhne des P. und der Hipp. werden verschieden angegeben; ein Scholiast nennt: Atreus, Thyestes, Pittheus, Alkathoos, Pleisthenes, Chrysippos. — μεμαότας haben die besten Codd., andere μεμαλότας, werth den Tugenden, welches Dissen annimmt. Dagegen bemerkt Rauchenstein, dass Pindar abstracte Substantive nicht, wie Spätere, im Plural zu personificiren pflege.

V. 90. „Jetzt aber wird er in Olympia verehrt mit Blutspenden." Man opferte ihm einen schwarzen Widder. Paus. 5, 13, 2. — μιγνύναι ἐν, eine bei P. öfter vorkommende Constr. statt des einfachen Dativs. cf. V. 22. — κλιθείς πόρῳ, liegend an. Hom. Il. 5, 709.

V. 93. Das Pelopium, ein Tempel des P. mit einem heiligen Bezirk, in dem auch sein Grab, befand sich in der Altis in der Nähe des Altars des Zeus, an dem die Fremden vorzugsweise opferten; daher παρὰ βωμῷ πολυξενωτάτῳ. Pausan. 5, 13, 1 u. 5.

V. 93. τὸ δὲ κλέος etc. Mit diesen Worten wendet sich der Dichter wieder zur Gegenwart, die er nach V. 23. verlassen hat, und eröffnet sich die Rückkehr zum gegenwärtigen Siege bis V. 100. Man denke bei κλέος weder an den Ruhm des Pelops, noch an den des Hieron; denn die Sätze bis V. 100. sind ohne Beziehung auf bestimmte Personen ausgesprochen. Man verbinde κλέος mit ἐν δρόμοις, der in der ol. Rennbahn des Pelops erlangte Ruhm. Zu δρόμοις gehören zwei Genit., Πέλοπος (die Bahn, worin Pelops gesiegt) und Ὀλυμπιάδων (wie Pyth. 1, 32. Πυθιάδος ἐν δρόμῳ).

V. 96. πάλαι καὶ παγκράτια καὶ πυγμαί. Schol.

ἀέθλων γ' ἕνεκεν. τὸ δ' αἰεὶ παράμερον ἐσλόν [ἀντ. δ'.
ὕπατον ἔρχεται παντὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι
κεῖνον ἱππίῳ νόμῳ
Αἰοληΐδι μολπᾷ
χρή· πέποιθα δὲ ξένον
μή τιν' ἀμφότερα καλῶν τε μᾶλλον ἴδριν ἤ δύναμιν
κυριώτερον
τῶν γε νῦν κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς.
θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται
ἔχων τοῦτο κᾶδος, Ἱέρων,
μερίμναισιν· εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι

V. 99. ἀέθλων γ' ἕνεκεν, „soviel wenigstens (γέ) die Wettkämpfe verschaffen können.“ πολλάκις μέντοι εἴωθε δι' ἑτέρας συμφορᾶς λυπεῖσθαι. Sch. „Doch das Glück, das man einmal hat und das nicht genommen werden kann, ist das beste.“

V. 101. ἱππίῳ νόμῳ. Es gab aus älterer Zeit einen νόμος ἵππιος, ἁρμάτιος, ein Pferdekampflied, Wagenkampflied; danach benennt jetzt P. diese seine Ode, in der die Rede ist von dem Wagenkampfe des Pelops und dem Siege des Hieron mit dem Rennpferde.

V. 104. μᾶλλον ἴδριν. cf. Ol. 2, 93. — τέ — ἤ, so Hom. Il. 2, 289. ἤ — τέ. — ἀμφότερα bereitet adverbialiter die beiden Comparative vor. ἀμφότερον, Il. 4, 60. 3, 179. — καλῶν ἴδρις, dem Schönen vertraut. Boeckh versteht darunter die Vertrautheit mit den musischen Künsten; καλά wird aber hier eine weitere Bedeutung haben, gleichwie V. 84.

V. 105. ὕμνων πτυχαί sind sehr verschieden erklärt worden. Die Einen denken an die Falten eines Gewandes, Andere an die Thäler und Schluchten eines Gebirges, mit denen P. sein Lied vergleiche. Wir folgen der Erklärung Boeckhs, der damit die kunstvollen Verschlingungen des Numerus, der Harmonie, des Tanzes bezeichnet glaubt.

V. 106 ff. Verbinde: θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μερίμναισιν. μήδεται steht absolut und wird erklärt und verstärkt durch ἔχων τοῦτο κᾶδος, welches der Schol. umschreibt: εἰς τοῦτο σπουδάζων. — μέριμναι sind die Sorgen um Schönes und Ruhmvolles (Ol. 2, 54.), hier aber bezeichnen sie speciell die Sorgen des Hieron um Wettkämpfe.

V. 109. Zu γλυκυτέραν denke μέριμναν. Hieron gedachte bei den nächsten Spielen mit einem Viergespann zu kämpfen. Die Sorge darum ist zu einer süssen geworden, sobald seine Wünsche in Erfüllung gegangen sind, wenn er siegt, süsser als die bisherigen, weil ein Sieg mit dem Viergespann der glänzendste ist. Hieron gewann wirklich bei den folgenden Spielen zu Ol. einen solchen Sieg.

[ἐπ. δ΄.

σὺν ἅρματι θοῷ κλεΐξειν, ἐπίκουρον εὑρὼν ὁδὸν λόγων,
παρ' εὐδείελον ἐλθὼν Κρόνιον. ἐμοὶ μὲν ὦν
Μοῖσα καρτερώτατον βέλος ἀλκᾷ τρέφει·
ἐπ' ἄλλοισι δ' ἄλλοι μεγάλοι. τὸ δ' ἔσχατον κορυφοῦται
βασιλεῦσι. μηκέτι πάπταινε πόρσιον.
εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν, ἐμέ τε τοσσάδε
νικαφόροις
ὁμιλεῖν, πρόφαντον σοφίᾳ καθ' Ἕλλανας ἐόντα παντᾷ.

V. 110. σὺν ἅρματι verbindet Dissen mit γλυκυτέραν, wie νίκα ἅρματι, ἵπποις und Nem. 10, 48. σὺν ποδῶν σθένει νικᾶσαι. — ἐπίκουρον, ein hülfreiches Lied, insofern es den Ruhm des Siegers erhöht und verbreitet.

V. 111. βέλος. cf. Ol. 2, 89. Die Gedanken des Siegers werden verglichen mit dem vom Bogen geschnellten Pfeile; das Ziel ist der Gepriesene. — ἀλκᾷ verb. mit καρτερώτατον. Ol. 13, 53. πυκνότατον παλάμαις.

V. 113. ἐπί, weil in μεγάλοι der Begriff des sich Rühmens liegt.

V. 114. Siehe zu Ol. 5, 24.

V. 115. εἴη. cf. Pyth. 1, 29. εἴη, Ζεῦ, τὶν εἴη ἁνδάνειν. — τοῦτον χρόνον, die Zeit dieses Lebens. — τοσσάδε. Hermann: „τοσσάδε bezieht sich, wie νικαφόρος zeigt, auf die Siege. Und möge ich jedesmal den Siegern (so oft sie siegen: er denkt an Hieron) mit meinem Gesange zur Seite stehn."

---

9. Ol. II.

Diese grossartige Ode ist gedichtet auf einen Sieg, welchen Theron, der Sohn des Aenesidemos, Tyrann von Akragas, Ol. 76, 1. v. Chr. 476. davongetragen hatte, und wurde in dem Palaste des Tyrannen beim Gastmahle gesungen. Theron, ein Mann von grossen Tugenden, der nach seinem Tode sogar als Heros verehrt ward, gehörte zu dem Geschlechte der Emmeniden, das seinen Ursprung von Thersandros, dem Sohne des Polynikes herleitete, also den Kadmos und Oedipus zu seinen Ahnen zählte. Dieses Geschlecht war nach manchen Wechselfällen des Schicksals endlich nach Gela in Sicilien gewandert und von da nach Akragas, wo sie bald zu hohem Ansehen gelangten und Theron Ol. 73, 1. v. Chr. 488. die Tyrannis gewann. Im Anfange dieses Jahres aber hatten sich seine nahen Verwandten Kapys und Hippokrates, denen er viel Gutes erzeigt, in Verbindung mit den Himerensern gegen ihn empört, zu einer Zeit, wo ihm zugleich ein Krieg mit Hieron von Syakus drohte. Theron wandte jedoch die Gefahr glücklich ab; er söhnte sich mit Hieron aus und schlug die Empörer bei Himera. Die Stadt selbst wurde eingenommen.


Inhalt. V. 1—11. Das Prooemium enthält die Veranlassung des Gedichts und das Lob des Theron wie seiner Ahnen, welche, nachdem sie vieles gelitten, in Sicilien zu hohem Glücke gelangten. — V. 12—22. Möge Zeus auch dem folgenden Geschlechte gewogen sein. Zwar kann Geschehenes nicht ungeschehen gemacht werden; doch das Leid erstirbt, wenn die Moira empor das hohe Glück sendet. — V. 22—30. Dies beweist das Schicksal der Kadmostöchter Semele und Ino, die nach grossem Leid zu Göttinnen erhoben wurden. — V. 30—47 u. 48—52. Ungewiss ist des Menschen Loos und voll Wechsel. Dies zeigt sich in dem Schicksal des Laios, Oedipus, Polynikes, Thersandros; nach grossem Unglück erwuchs dem Hause neues Heil in dem tapferen Thersandros, von welchem Theron stammt, der glückliche Sieger in Wettkämpfen. Der Sieg aber verscheucht das Leid. — V. 53—83. Reichthum mit Tugend gepaart treibt die Seele an, nach Schönem zu streben und Gutes zu thun. Wer den Reichthum so verwendet, dem ist er ein heller Stern, ein wahres Licht; ein solcher Mann weiss auch, welches Loos nach dem Tode die Guten und die Schlechten erwartet, und lebt danach. Dreimal hat der Mensch auf Erden und jenseits zu leben; wer in der Unterwelt gesündigt, erleidet auf der Oberwelt die Strafe; wer hier gefrevelt, wird unter der Erde gestraft (V. 57—60); die Guten jedoch haben ein glückliches Leben in der Unterwelt (V. 61—67). Wer aber dreimal unsträflich hier und dort gewandelt, der gelangt zu den Inseln der Seligen (V. 68 ff.). Nach einer längeren Beschreibung des Lebens auf diesen Inseln wendet sich der Dichter rasch zur Gegenwart: V. 83—100. Viele schnellen Pfeile habe ich im Köcher, tönend den Verständigen. Einen nehme ich hervor und schleudere ihn nach Akragas und singe den Theron, den grossmüthigen Wohlthäter. Doch der Ueberdruss der Wohlthaten erzeugt in den Empfängern Neid und Schmähung, gegen das Recht, denn wie Sand am Meere sind die Freuden, die jener Andern bereitete.

Diese kleineren Theile ordnen sich zu grösseren Gruppen zusammen, so dass das Ganze in zwei Haupttheile zerfällt, von denen der erste über den Wechsel von Glück und Unglück in früherer Zeit handelt (bis V. 47.), der zweite über das Glück, welches den Guten dereinst erwartet (V. 56—83.). Das Lob des Siegers aber ist so vertheilt, dass es an drei Stellen auftritt: im Prooemium, im Schluss und zwischen jenen Haupttheilen (V. 48 ff.). Der Grundgedanke, der das Ganze durchzieht, lässt sich in dem kurzen Satze ausdrücken: In dem Leben der Menschen herrscht ein grosser Wechsel des Schicksals, aber den Guten erwartet der Lohn seiner Thaten. Der erste Theil dieses Satzes hat sich bewährt in dem Geschicke des Emmenidengeschlechtes (V. 8—11.) und seiner Ahnen, bei den Kadmostöchtern und in dem Hause des Oedipus. Doch wird überall in diesen Beispielen hervorgehoben, dass unter der Leitung einer gütigen Gottheit auf Unglück wieder neues Glück folgte. Dasselbe erkennt man auch in dem Geschicke des Theron; nach der Empörung seiner nächsten Verwandten und nach drohendem Kriege von


aussen ist er zu neuem Glücke gelangt und zu dem glänzenden Ruhme dieses Sieges. In dem Abschnitte des Gedichtes, welcher diesen Theil des Hauptgedankens behandelt, sind die Erzählungen oft durch allgemeine Sätze unterbrochen, welche auf den Grundgedanken zurückführen, eine äussere Nachahmung des Wechsels des Geschicks; in dem zweiten Theile dagegen fliesst die Rede ruhig und ohne Unterbrechung weiter und ergeht sich absichtlich in einer weiten Beschreibung des Lebens auf den Seligen Inseln, um in dem tugendhaften Theron die Hoffnung dereinstiger Seligkeit nach dem Tode zu erwecken. (Nach Rauchenst. Commentt. Pind. II. p. 17 ff.).

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι ΑΡΜΑΤΙ.

Strophae.



Epodi.



'Αναξιφόρμιγγες ὕμνοι, [στρ. α'.
τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν;
ἤτοι Πίσα μὲν Διός· 'Ολυμπιάδα δ' ἔστασεν 'Ηρακλέης
ἀκρόθινα πολέμου·

V. 1. ἀναξιφόρμιγγες ὕμνοι. ἕπονται γὰρ τοῖς ὕμνοις αἱ φόρμιγγες. Sch. cf. Pratin. bei Athen. 14. p. 617. D. τὰν ἀοιδὰν κατέστασε Πιερὶς βασίλειαν, ὁ δ' αὐλὸς ὕστερον χορευέτω· καὶ γὰρ ἔσθ' ὑπηρέτας.

V. 2. θεόν — ἥρωα — ἄνδρα. cf. Horat. Carm. 1, 12. In V. 3 ff. folgt die Antwort nebst den Gründen.

V. 4. ἀκρόθινα = ἀκροθίνια. Herakles setzte nach dem glücklichen Kriege gegen Augeas die ol. Spiele ein und opferte dabei den 12 Göttern zu Ol. das Beste von der Beute. cf. zu Ol. 5, 5. 3, 14 ff. Zeus und Herakles konnten wegen ihrer Beziehung zu den ol. Spielen hier leicht eingeführt werden; sie haben aber in der Zusammenstellung mit Theron noch eine andere, mehr verdeckte Bedeutung: Zeus ist der erste der Götter, Herakles der erste der Heroen und Theron —?

Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου
γεγωνητέον, ὄπι δίκαιον ξένων, ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων ἄωτον ὀρθόπολιν·

καμόντες οἳ πολλὰ θυμῷ [ἀντ. α'.
ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, Σικελίας τ' ἔσαν
ὀφθαλμός, αἰών τ' ἔφεπε μόρσιμος, πλοῦτόν τε καὶ
χάριν ἄγων
γνησίαις ἐπ' ἀρεταῖς.
ἀλλ' ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων
ἀέθλων τε κορυφὰν πόρον τ' Ἀλφεοῦ, ἰανθεὶς ἀοιδαῖς
εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον

λοιπῷ γένει. τῶν δὲ πεπραγμένων [ἐπ. α'.
ἐν δίκᾳ τε καὶ παρὰ δίκαν ἀποίητον οὐδ' ἄν

V. 6. Neben der Gastfreundschaft des Th. wird seine Tapferkeit hervorgehoben in: ἔρεισμ' Ἀκράγαντος (ἕρκος Ἀχαιῶν. Hom. Il. 7, 211. Schol.). Er hatte durch den Sieg bei Himera am Tage der salaminischen Schlacht seine Vaterstadt und die Griechen Siciliens vor der Herrschaft der Karthager bewahrt (Herod. 7, 165.) und in diesem Jahre den Kapys und Hippokrates, von denen Akragas nichts Gutes zu erwarten hatte, besiegt. Durch diese Tugenden bringt er die Stadt zur Blüthe und ist eine Zierde seiner Väter.

V. 8—11. In diesen Versen klingt schon der Hauptgedanke, der in der Folge in Beispielen ausgeführt wird, präludirend an. cf. Ol. 1, 25. Das Unangenehme wird übrigens nur leise angedeutet, während das Erfreuliche in volltönenden Versen erklingt. Ebenso V. 25—27.

V. 9. ἔσχον, sie nahmen in Besitz den Wohnsitz am Flusse Akragas. οἴκημα ποταμοῦ = οἴκ. ποτάμιον. cf. Pyth. 6, 6. ποταμία Ἀκράγας. Eur. Phoen. 852. πύργοι διδύμων ποταμῶν. Med. 851. ἱερῶν ποταμῶν πόλις.

V. 10. Die Emmeniden wurden das Licht Siciliens, nachdem das Glück sich zu ihren Tugenden gesellt hatte. Der Satz αἰών τε ff. sollte als Nebensatz folgen, doch liebt P. wie Homer den Hauptsatz. cf. Ol. 5, 8. αἰὼν μόρσιμος, ein vom Schicksal bestimmtes glückliches Loos. Der Schol. vergl. H. Il. 3, 182. ὦ μάκαρ Ἀτρείδη, μοιρηγενές, ὀλβιόδαιμον.

V. 12. Κρόνιε παῖ Ῥέας. Diese beiden Götter sind hier und V. 76. genannt wegen ihres Cultus zu Olympia. cf. zu Ol. 5, 17.

V. 13. ἀέθλων κορυφάν. cf. Ol. 1. in.

V. 14. σφίσιν, den im Vorhergehenden genannten früheren Emmeniden. „Erhalte ihnen zu lieb dem folgenden Geschlechte etc.“ cf. Ol. 8, 83. κόσμον, ὅν σφι Ζεὺς γένει ὤπασε.

V. 15—17. „Die Zeit, obwohl sie alles hervorbringt (ὁ πάντων πατήρ), kann das Vergangene, wenn es sich einmal vollendet hat (τέλος),

χρόνος ὁ πάντων πατὴρ δύναιτο θέμεν ἔργων τέλος·
λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.
ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει
παλίγκοτον δαμασθέν,

ὅταν θεοῦ Μοῖρα πέμπῃ [στρ. β'.
ἀνεκὰς ὄλβον ὑψηλόν. ἕπεται δὲ λόγος εὐθρόνοις
Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα, πένθος δ' ἐπίτνει βαρύ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ τανοέθειρα Σεμέλα, φιλεῖ δέ μιν Παλλὰς αἰεί
καὶ Ζεὺς πατὴρ μάλα, φιλεῖ δὲ παῖς ὁ κισσοφόρος.

λέγοντι δ' ἐν καὶ θαλάσσᾳ [ἀντ. β'.
μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον. ἤτοι βροτῶν γε κέκριται
πεῖρας οὔ τι θανάτου,
οὐδ' ἀσύχιμον ἁμέραν ὁπότε, παῖδ' ἀελίου,
ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν· ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
εὐθυμιᾶν τε μετὰ καὶ πόνων ἐς ἄνδρας ἔβαν.

nicht wieder vernichten." cf. H. Il. 9, 249. Verb.: τέλος ἔργων τῶν ἐν δίκᾳ τε καὶ παρὰ δίκαν πεπραγμένων. In den Worten ἔργων τῶν ἐν δίκᾳ τε καὶ παρὰ δίκαν (mit Recht oder Unrecht, um die Handlung als **moralische** zu bezeichnen) wiegt der Begriff παρὰ δίκαν vor. Der Dichter stellt neben παρὰ δίκαν das Entgegengesetzte ἐν δίκᾳ und gibt so dem Satze eine allgemeinere Bedeutung. cf. Ol. 3, 44. σοφοῖς κἀσόφοις. Er denkt bei diesen allgemeinen Sätzen an die jüngsten in der Einleitung erwähnten Widerwärtigkeiten in dem Hause des Theron.

V. 20. παλίγκοτον, *recrudescens*, Dissen. cf. V. 37. παλιντράπελον πῆμα.

V. 21. Das Bild ist hergenommen von einem Rade. cf. Tibull. 1, 5, 70. *Versatur celeri fors levis orbe rotae.*

V. 24. ἕπεται. ἐπ' αὐτῶν ἁρμόζει. Sch. Thiersch: „es bewährt sich des Wortes Sinn an K. Jungfrauen." Des Kadmos Töchter: **Semele** (Ovid. Met. 3, 253 ff.), **Ino** (Hom. Od. 5, 333. Ovid. Met. 4, 416 ff.). Autonoe, Agaue.

V. 26. **Pallas** wird vorzugsweise genannt, weil sie zu den Schutzgottheiten von Akr. gehört; ihren Cultus hatten mit dem des Zeus die Vorfahren des Th. von Rhodos nach Gela und von da nach Akr. gebracht.

V. 30 ff. „Des Menschen Loos ist ungewiss und **wechselvoll**." οὐ κέκριται, **ist nicht gewiss**. cf. Theogn. 381, No. 22.

V. 33. ῥοαί, cf. Nem. 11, 46.

οὕτω δὲ Μοῖρ', ἅ τε πατρώϊον [ἐπ. β΄.
τῶνδ' ἔχει τὸν εὔφρονα πότμον, θεόρτῳ σὺν ὄλβῳ
ἐπί τι καὶ πῆμ' ἄγει παλιντράπελον ἄλλῳ χρόνῳ·
ἐξ οὗπερ ἔκτεινε Λᾷον μόριμος υἱός
συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθέν
παλαίφατον τέλεσσεν.

ἰδοῖσα δ' ὀξεῖ' Ἐρινύς [στρ. γ΄.
ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήϊον·
λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυνείκει, νέοις ἐν ἀέθλοις
ἐν μάχαις τε πολέμου
τιμώμενος, Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις·
ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.

Ὀλυμπίᾳ μὲν γὰρ αὐτός [ἀντ. γ΄.
γέρας ἔδεκτο, Πυθῶνι δ' ὁμόκλαρον ἐς ἀδελφεόν
Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τεθρίππων δυωδεκαδρόμων
ἄγαγον. τὸ δὲ τυχεῖν

V. 36. τῶνδε, der Emmeniden. ἔχει, sie hat in ihrer Gewalt, lenkt. Der Dichter hebt absichtlich nur die erfreuliche Seite in dem Wechselgeschick der Emm. hervor. s. zu V. 8—11.

V. 37. παλιντράπελον, wiederkehrendes Leid; es ist zu denken an die in dem Geschlechte oft wiederkehrende Zwietracht, die auch kürzlich noch in der Familie des Th. sich gezeigt.

V. 41. ὀξεῖα verb. mit ἰδοῖσα. ὀξέως βλέπουσα. Sch.

V. 43. Thersandros, Sohn des Polynikes von der Tochter des Adrastos Argeia, wurde nach dem Epigonenkriege, an dem er selbst theilnahm, als König von Theben eingesetzt und kam darauf in dem Kriege gegen Troia um. Homer erwähnt ihn nicht. — νέοις ἐν ἀέθλοις statt νέων ἐν ἀέθλοις. cf. Eur. Med. 48. νέα φροντίς. Soph. Trach. 53. γνώμαισι δούλαις.

V. 45. θάλος ἀρωγόν, Erhaltungsspross. Hartung. — Die Adrastiden, nicht die Kadmiden werden hier genannt, damit auch der zweite hehre Stammvater, auf den Theron sein Geschlecht zurückführt, der Heros Adrastos, nicht unerwähnt bleibe.

V. 46. Es liegt der Gedanke zu Grunde, dass der von Thers. abstammende Theron dieselben rühmlichen Eigenschaften habe wie jener.

V. 49. Die Siege des Xenokrates, des Bruders von Th., werden erwähnt, weil des letzteren Glück noch durch das seines nächsten Verwandten vergrössert wird; der Ruhm ist ein gemeinsamer für das Haus. — ὁμόκλαρον, von gleichem Loose, gleichem Erbe, im Gegensatz zu Stiefgeschwistern.

V. 50. ἄνθεα, Siegeskränze. — δυωδεκαδρόμων. cf. Ol. 3, 33.

V. 51. τὸ τυχεῖν = τὸ νικῆσαι.

πειρώμενον ἀγωνίας παραλύει δυσφρονᾶν.
ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος φέρει τῶν τε
καὶ τῶν
καιρόν, βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν,
[ἐπ. γ'.
ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον
ἀνδρὶ φέγγος· εὖ·δέ μιν ἔχων τις οἶδεν τὸ μέλλον,
ὅτι θανόντων μὲν ἐνθάδ' αὖτις ἀπάλαμνοι φρένες
ποινὰς ἔτισαν, τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
λόγον φράσαις ἀνάγκᾳ.

ἶσον δὲ νύκτεσσιν αἰεί, [στρ. δ'.

V. 52. δυσφρόνη = δυσφροσύνη; ebenso εὐφρόνη und ἀφρόνη für εὐφροσύνη und ἀφροσύνη.

V. 53. „Ein mit Tugenden geschmückter Reichthum bringt Zeitigung von dem und jenem Grossen und Schönen, indem er ein eifriges Streben nach hohen Dingen und schönen Thaten in die Seele legt.“ — ὑπέχων, ὑποτιθείς. Sch. cf. Ol. 1, 19. — ἀγροτέραν μέρ., jagendes, mit Eifer verfolgendes Streben nach hohen Dingen. cf. Ol. 1, 108. — Die Tugenden des Theron haben sich in seinem edlen Streben und in seinem Siege in den Wettkämpfen bewährt (s. Ol. 3, 43.). In sofern schliesst sich V. 53. an das Vorhergehende an; zugleich aber macht er den Uebergang zu dem Folgenden (V. 56 ff.), wo jedoch die ἀρεταί ganz besonders hervortreten. Hier wird die Vielheit der Tugenden zusammengefasst in der religiösen Gesinnung und dem das ganze Thun und Denken bestimmenden Glauben an ein Jenseits und eine Vergeltung nach dem Tode. „Wer πλοῦτον ἀρεταῖς δεδαιδαλμένον (μίν) besitzt, wer seinen Reichthum auf tugendhafte Weise gebraucht, der kennt wohl das Zukünftige, der weiss, was ihn nach dem Tode erwartet.

V. 57—60. In V. 57 ff. erwartet man sogleich die Beschreibung des glücklichen Looses der Tugendhaften nach dem Tode; aber der Dichter stellt dem Loose des Guten das des Schlechten gegenüber und setzt dieses voran in den Worten: ὅτι θανόντων bis V. 60., und zwar wegen der Fülle der Gedanken so, dass diese Worte unabhängig von dem in V. 61. folgenden Gegensatze dastehn und V. 61., der noch von ὅτι abhängig sein sollte, einen neuen Hauptsatz beginnt. Die Verbindung der Sätze müsste sein: οἶδεν, ὅτι ἀπάλαμνοι μέν —, ἐσλοὶ δέ etc., „er weiss, dass, während der Frevler bestraft wird, der Gute jenseits seinen Lohn empfängt.“

V. 57. αὖτις nach Rauchenstein für αὐτίκ'. Es stehen sich entgegen: θανόντων μὲν ἀπαλ. φρένες und τὰ δὲ ἐν τᾷδε Διὸς ἀρχᾷ ἀλιτρά, ferner ἐνθάδε (hier auf Erden, zu verb. mit ποινὰς ἔτισαν) und κατὰ γᾶς. „Wer in der Unterwelt gesündigt, wird auf Erden gestraft; wer gesündigt auf Erden, den trifft die Strafe in der Unterwelt.“

V. 61—67. Zustand der Guten in der Unterwelt. Diese Partie ist aus

ἴσα δ' ἐν ἁμέραις ἅλιον ἔχοντες ἀπονέστερον
ἐσλοὶ δέκονται βίοτον, οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ
οὐδὲ πόντιον ὕδωρ
κεινὰν παρὰ δίαιταν· ἀλλὰ παρὰ μὲν τιμίοις
θεῶν, οἵτινες ἔχαιρον εὐορκίαις, ἄδακρυν νέμονται
αἰῶνα· τοὶ δ' ἀπροσόρατον ὀκχέοντι πόνον.

ὅσοι δ' ἐτόλμασαν ἐστρίς [ἀντ. δ'.
ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου τύρσιν· ἔνθα μακάρων
νάσος ὠκεανίδες
αὖραι περιπνέοισιν, ἄνθεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ' ἀγλαῶν δενδρέων, ὕδωρ δ' ἄλλα φέρβει,
ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ κεφαλάς

leicht begreiflichen Gründen ausführlicher als die über die Strafen der Bösen. — „Die Guten haben Tag und Nacht in der Unterwelt die Sonne gleichmässig;“ doch ist dies eine andere Sonne als die in der Oberwelt. Ihr Zustand ist ein Freisein von Mühen und Leid, ein Zustand der Ruhe und Erholung, durchaus nicht gleich dem später beschriebenen Leben auf den Seligen Inseln. Pindar scheint einen Unterschied anzunehmen zwischen Elysium und Seligen Inseln, so dass unter diesem Orte der Guten in der Unterwelt Elysium zu verstehen wäre.

V. 65. παρὰ — δίαιταν, um spärlichen Erwerb. — τιμίοις θεῶν = τιμίοις θεοῖς, Hades und Persephone. Persephone heisst öfter πολύτιμος.

V. 66. οἵτινες, die ἐσλοί, V. 63., ihnen entgegengesetzt τοὶ δέ, die Schlechten.

V. 68—83. „Wer aber dreimal unsträflich den Kreislauf durch Ober- und Unterwelt durchwandelt hat, gelangt zum höchsten Glück auf den Seligen Inseln.“ In diesem Abschnitte kommt manches aus orphisch-pythagoreischer Lehre vor.

V. 70. Διὸς ὁδός scheint der Weg zu sein, den Zeus wandelt, wenn er sich in die Gesellschaft der Seligen zu den Seligen Inseln begibt; oder ist es der Weg, auf dem Zeus selbst die Seligen hinüberführt? Die Burg des Kronos ist auf den Seligen Inseln.

V. 71. νάσος = νάσους. Siehe die Schilderung des Elysiums Hom. Od. 4, 563.

V. 72—75. ἄνθεμα ff. Dissen erkennt in dieser Stelle einen Vergleich mit der Sitte bei den Wettspielen, dass dem Sieger von dem Schiedsrichter der Siegeskranz zuerkannt wird. So ist hier der Sieger der, welcher nach dreimaligem Kreislauf durch Ober- und

βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος, [ἐπ. δ΄.
ὃν πατὴρ ἔχει παῖς ὁ Γᾶς ἑτοῖμον πάρεδρον,
πόσις ἁπάντων Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον.
Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·
Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ Ζηνὸς ἦτορ
λιταῖς ἔπεισε, μάτηρ·

ὃς Ἕκτορ' ἔσφαλε, Τροίας [στρ. ε΄.
ἄμαχον ἀστραβῆ κίονα, Κύκνον τε θανάτῳ πόρεν,
Ἀοῦς τε παῖδ' Αἰθίοπα. πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα
βέλη

Unterwelt endlich des Lebens im Elysium theilhaftig wird, die Schiedsrichter sind Kronos und Rhadamanthys (V. 75. 76.); wie bei den Kampfspielen erkennen sie den Siegern Kränze zu, und zwar von goldenen Blumen. Zugleich aber liegt in dieser Schilderung die Vorstellung eines in steter Heiterkeit und ununterbrochenem Festgelage prangenden Daseins. — κεφαλάς, Conjectur von Boeckh; die meisten Codd. haben στεφάνοις; dann ist ὅρμοισι καὶ στεφάνοις wie ἓν διὰ δυοῖν für ὅρμοις στεφάνων. Bergk vermuthet ἀναπλέκοντ' εὐστεφάνοις. — τὰ μέν — ἄλλα. cf. zu Ol. 12, 6.

V. 76. παῖς ὁ Γᾶς, Kronos.

V. 78. Kadmos wird hier genannt, weil er Stammvater des Theron ist, Peleus aber und Achilleus (cf. Skol. 1, 7.), weil sie sich durch dieselben Tugenden, wie Th., auszeichneten. Th. ist gastfrei und tapfer (V. 6.); in der ersten Eigenschaft gleicht er dem Peleus, der bei Homer (Il. 9, 480. 23, 89.) als gastfrei gerühmt wird und auch bei Pindar ein ἀνὴρ ὅτι δίκαιος ξένων ist. Dem Achilleus gleicht Th. in der Tapferkeit, er kämpfte gleich ihm gegen die Feinde der Hellenen. Achilleus verdiente wohl durch seine Tapferkeit das Elysium; allein er war ein zum Zorn geneigter Mann, der im Zorn sich Ungerechtes erlaubte, er entsprach daher nicht ganz der Forderung V. 68. Deswegen musste seine Mutter für ihn bitten.

V. 82. Kyknos, Sohn des Poseidon und der Kalyke, König von Kolonae in Troas, dem Homer unbekannt. Ovid. M. 12, 51 ff.

V. 83. Der äthiopische Sohn der Eos (und des Tithonos), Memnon. In der Ilias wird er nicht erwähnt, dagegen zweimal in der Odyssee: 4, 188. 11, 522.

V. 83 ff. Der Dichter hat in der vorhergehenden Schilderung durchblicken lassen, dass Th. wegen seiner Tugend einst mit den Heroen im Elysium vereint werden würde. Diese Andeutungen sind für die Verständigen verständlich, für sie hat er genug gesagt. Daher bricht er jetzt mit den Worten πολλά μοι — συνετοῖσιν in rascher Wendung ab, um sich gegen den Schluss hin mit V. 89. wieder zu Th. zu wenden. Er lobt nochmals seine Tugend, kraft deren er einst ein seliges Loos zu erwarten hat. In dem Anfange dieses Abschnitts tritt aber noch ein

ἔνδον ἐντὶ φαρέτρας
φωνάεντα συνετοῖσιν· ἐς δὲ τὸ πὰν ἑρμηνέων
χατίζει. σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· μαθόντες δὲ λάβροι
παγγλωσσίᾳ, κόρακες ὥς, ἄκραντα γαρύετον

Διὸς πρὸς ὄρνιχα θεῖον. [ἀντ. ε΄.
ἔπεχε νῦν σκοπῷ τόξον, ἄγε θυμέ, τίνα βάλλομεν
ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀϊστοὺς ἱέντες; ἐπί τοι
Ἀκράγαντι τανύσαις·
αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ,
τεκεῖν μή τιν' ἑκατόν γε ἐτέων πόλιν φίλοις ἄνδρα μᾶλλον
εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα

Nebengedanke ein. Schilderungen, wie die vorhergehende, mit dunkelen Beziehungen und dem Anschein nach nicht zur Sache gehörig, wurden, wie manche andern Eigenschaften der Poesie des P., von andern Dichtern, seinen Nebenbuhlern und Neidern, getadelt. Gegen diese wendet er sich nun mit schneidendem Spott und starkem Selbstgefühl. Die ganze Stelle hat von vorn herein etwas Erregtes und Heftiges. „Weise ist, wer von Natur vieles weiss (wer von Natur ein Dichter ist, ist ein wahrer Dichter); die aber die Dichtkunst angelernt haben, schwatzen Eiteles in unbändiger Schwatzhaftigkeit, wie Raben gegen des Zeus göttlichen Vogel.“ Das Anstössige des Eigenlobs wird gemildert durch die allgemeine Haltung des Gedankens und durch die Anwendung des Vergleichs. Wer die beiden (γαρύετον) Angegriffenen sind, ist nicht bestimmt zu sagen; doch ist die Angabe des Scholiasten wahrscheinlich, dass es Simonides und Bakchylides seien, die sich damals in Syrakus bei Hieron aufhielten. Von Pindar und seinen Neidern ist hernach ein leichter Uebergang zu Theron und seinen Feinden.

V. 83. βέλη. cf. Ol. 1, 112. Isthm. 4, 46. πολλὰ μὲν ἀρτιεπὴς γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων κελαρύσαι.

V. 85. ἐς τὸ πάν, insgemein, für den grossen Haufen.

V. 88. P. liebt es, sich in Rücksicht auf den hohen und schnellen Flug seiner Begeisterung mit dem Adler zu vergleichen. cf. Nem. 3, 80. „Spät zwar schick ich mein Lied,“ — ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς, ὃς ἔλαβεν αἶψα, τηλόθε μεταμαιόμενος, δαφοινὸν ἄγραν ποσίν· κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται.

V. 89. βάλλομεν. Indicat., wo man einen Conjunct. erwartet. Eurip. Iph. Aul. 16. στείχομεν εἴσω. Plat. Rep. 5. p. 461. E. ἢ πῶς ποιοῦμεν;

V. 90. ἐκ μαλθακᾶς φρενός, aus wohlwollender Seele; eben hat er einige feindliche Geschosse gegen seine Widersacher geschleudert. Wegen dieses Gegensatzes steht auch εὐκλέας und αὖτε.

V. 93. πόλιν, sc. Akragas, nicht zu verb. mit τινά.

Θήρωνος. ἀλλ' αἶνον ἐπέβα κόρος [ἐπ. ε'.
οὐ δίκᾳ συναντόμενος, ἀλλὰ μάργων ὑπ' ἀνδρῶν,
τὸ λαλαγῆσαι θέλων κρύφον τε θέμεν ἐσλῶν καλοῖς
ἔργοις. ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν·
ἐκεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν,
τίς ἂν φράσαι δύναιτο;

V. 95. **κόρος**, die Sättigung an der Fülle der Wohlthaten und daraus entspringender Hass. ἀλλὰ τὸν ἔπαινον κόρος ἐπέβη καὶ ὕβρις ἄδικος. Sch. — V. 95 u. 96. gehen, wie V. 98—100. speciell auf Th. und seine Feinde, welche, uneingedenk seiner Wohlthaten, Verrath gegen ihn gesponnen hatten.

V. 97. **τὸ λαλαγῆσαι**, abhängig von θέλων. cf. Soph. O. C. 442. τὸ δρᾶν οὐκ ἠθέλησαν. Eurip. Iph. Aul. τὸ σιγᾶν οὐ σθένω.

V. 98. **ἐπεί** geht zurück auf οὐ δίκᾳ. — ὥσπερ ἡ ψάμμος οὐκ ἂν ἀριθμῷ περιληφθείη, οὕτως ἀμέτρητος Θήρων ταῖς εὐποιίαις. Sch.

---

10. Ol. III.

Diese Ode, wie Ol. II., auf den Sieg des Theron Ol. 76. v. Chr. 476. gedichtet, wurde in dem Dioskurion zu Akragas an dem den Dioskuren geheiligten Feste der Theoxenien gesungen. Die Dioskuren oder Tyndariden, Kastor und Polydeukes, sind vorzugsweise Beschützer der Gastfreundschaft (φιλόξεινοι); als solche hatten sie die Theoxenia eingesetzt, ein Fest, an dem sie alle Götter bewirtheten. Dieses Fest wurde auch zu Akragas gefeiert, wohin der Cult der Dioskuren durch die Emmeniden gebracht worden war. Die Emmeniden betheiligten sich auch in der Folge vor allen andern an diesem Cult (V. 39 ff.). Nach Erlangung seines Sieges bringt Th. den Dioskuren, welche, nebst Herakles Vorsteher der ol. Spiele (V. 36.), ihm den Sieg verschafft hatten (V. 39.), zum Dank an ihrem Feste den gewonnenen Olivenkranz dar. Darum werden vor allen die Dioskuren in diesem Gedichte verherrlicht, und wird die Verpflanzung des Oelbaums nach Olympia durch Herakles erzählt. Dieses Festlied ist wahrscheinlich früher vorgetragen als das vorhergehende, weil es Pflicht war, früher den Göttern öffentlich den gebührenden Dank zu bringen, als im Hause das Siegesfest zu feiern.

Die Composition des Gedichts ist einfach. Den Mittelpunkt bildet die Erzählung von der Verpflanzung des Oelbaums nach Olympia, dessen Zweig Th. gewonnen hat und jetzt den Dioskuren weiht (V. 6—34.). In dem Prooemium spricht er aus, dass die Feier des ol. Sieges mit der der Theoxenien verbunden werde; derselbe Gedanke kehrt wieder in V. 34—41. Zum Schlusse folgt die beliebte Mahnung an Th., sich in seinem Glücke nicht zu überheben.

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι
ΕΙΣ ΘΕΟΞΕΝΙΑ.

Strophae.

–́⏑⏑–⏑⏑––́⏑––́⏑⏑–⏑⏑⏓
––́⏑⏑–⏑⏑––́⏑⏓
––́⏑⏑–⏑⏑––́⏑––́⏑⏑–⏑⏑⏓
––́⏑––́⏑––́⏑––́⏑⏑–⏑⏑––́⏑⏓
–́⏑––́⏑––́⏑–⏒

Epodi.

–́⏑––́⏑––́⏑⏑–⏑⏑⏓
–́⏑––́⏑⏑–⏑⏑––́⏑––́⏑⏓
–́⏑⏑–⏑⏑––́⏑⏑–⏑⏑––́⏑⏓
–́⏑⏑–⏑⏑––́⏑–⏒–́⏑⏑–⏑⏑⏓
–́⏑––́⏑––́⏑–⏒

[στρ. α΄.

Τυνδαρίδαις τε φιλοξείνοις ἀδεῖν καλλιπλοκάμῳ θ' Ἑλένᾳ
κλεινὰν Ἀκράγαντα γεραίρων εὔχομαι,
Θήρωνος Ὀλυμπιονίκαν ὕμνον ὀρθώσαις, ἀκαμαντοπόδων
ἵππων ἄωτον. Μοῖσα δ' οὕτω τοι παρέστα μοι νεοσίγα-
λον εὑρόντι τρόπον
Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ

[ἀντ. α΄.

ἀγλαόκωμον. ἐπεὶ χαίταισι μὲν ζευχθέντες ἔπι στέφανοι
πράσσοντί με τοῦτο θεόδματον χρέος,
φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν αὐλῶν ἐπέων τε θέσιν
Αἰνησιδάμου παιδὶ συμμίξαι πρεπόντως, ἅ τε Πίσα με
γεγωνεῖν· τᾶς ἄπο

V. 1. ἀδεῖν, äol. für ἁδεῖν. — **Helena**, die Schwester der Dioskuren, wahrscheinlich mit diesen zu Akr. verehrt.

V. 3. ὕμνον ὀρθώσαις. Das Bild ist hergenommen von der Errichtung einer Siegessäule mit dem Namen des Siegers am Orte der Wettkämpfe, oder von der Aufstellung einer Statue des Siegers.

V. 4. Von οὕτω hängt ab ἐναρμόξαι. — νεοσίγαλον τρόπον, νεοποίκιλον ὕμνον. Sch. Dissen vermuthet, dass P. an die jetzt von ihm zum erstenmal behandelte, aus dem Mythenkreis der Eleer genommene Sage von der Anpflanzung des Oelbaums denke. — πεδίλῳ = ῥυθμῷ.

V. 6—34. Die Verpflanzung des Oelbaums nach Olympia, eingeleitet durch die Kränze, mit denen bei der Festfeier Sieger und Theilnehmer des Festes geschmückt sind.

V. 7. πράσσειν, vom Einfordern der Schuld. — ἀπαιτοῦσί με τὸν θεοκατασκεύαστον ὕμνον, τὸν ἐκ Μουσῶν. Sch.

V. 8. ἐπέων θέσιν. cf. Sol. 1, 2. κόσμον ἐπέων — θέμενος.

V. 9. συμμίξαι. Das Bild ist hergenommen von einem Mischtrank. Nem. 3, 76. heisst es von einem Siegeslied: ἐγὼ τόδε τοι πέμπω

θεύμοροι νίσσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί,

ᾧ τινι, κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας, [ἐπ. α'.
ἀτρεκὴς Ἑλλανοδίκας βλεφάρων Αἰτωλὸς ἀνὴρ ὑψόθεν
ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας. τάν ποτε
Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεικεν Ἀμφιτρυωνιάδας,
μνᾶμα τῶν Οὐλυμπίᾳ κάλλιστον ἀέθλων,
[στρ. β'.
δᾶμον Ὑπερβορέων πείσαις Ἀπόλλωνος θεράποντα λόγῳ,
πιστὰ φρονέων, Διὸς Ἄλτει πανδόκῳ
δοῦναι σκιαρόν τε φύτευμα ξυνὸν ἀνθρώποις στέφανόν τ' ἀρετᾶν.
ἤδη γὰρ αὐτῷ, πατρὶ μὲν βωμῶν ἁγισθέντων, διχόμηνις ὅλον χρυσάρματος
ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε Μήνα,
[ἀντ. β'.
καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν καὶ πενταετηρίδ' ἁμᾶ
θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ.

μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι, — πόμ' ἀοίδιμον etc. — ἅ τε Π. με γεγωνεῖν (τέ entspricht dem μέν), ἅ τε Π. πράσσει με χρέος γεγωνεῖν.

V. 10. ἀνθρώπους, ᾧτινι. cf. Ol. 1, 82. Hom. Il. 16, 621. Od. 21, 293. 313.

V. 12. Oxylos, der mit den Doriern in den Peloponnes einfiel, liess sich mit seinen Aetolern in Elis nieder; daher heissen die Eleer Aetoler. Aus diesen wurden die Kampfrichter (Ἑλλανοδίκαι, weil nur Hellenen in den Spielen kämpfen durften) erwählt, die nach der alten Anordnung des Herakles, der die Spiele gestiftet (Ol. 5, 5. 2, 4.), den Sieg zuerkannten.

V. 13. γλαυκόχροα. γλαυκός häufiges Beiwort des Oelbaums wegen seiner weissgrünen Blätter. Soph. O. C. 701. Eur. Iph. T. 1070.

V. 14. Istros im Lande der Hyperboreer, der frommen Verehrer des Apollon und der Artemis, jenseits des Boreas (V. 26—31.).

V. 16. πείσαις λόγῳ. Nicht durch Gewalt, wie sonst Herakles wohl pflegte, oder durch List kam er in Besitz des Oelbaums, sondern durch gütliche Uebereinkunft.

V. 19 ff. „Schon waren die olymp. Spiele von H. eingesetzt und einmal gehalten und ihre fünfjährige Wiederkehr bestimmt.“ Dissen vermuthet, dass P. in der mythischen Zeit zwei Tage für das olymp. Fest angenommen habe, und zwar den ersten, den Tag des Vollmonds, für die Opfer (schon hatte ihm, nachdem er dem Vater geopfert, der Mond sein volles Antlitz entgegengestrahlt), den folgenden für die Spiele. Ueber die spätere Zeit s. Anm. zu Ol. 5, 5.

V. 20. ἑσπέρας, Abends.

V. 22. θῆκε, Subject Herakles.

ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος ἐν βάσσαις Κρονίου Πέλοπος.
τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀξείαις ὑπακουέμεν αὐγαῖς ἁλίου.
δὴ τότ' ἐς γαῖαν πορεύειν θυμὸς ὥρμαιν'

Ἰστρίαν νιν· ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ [ἐπ. β'.
δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν καὶ πολυγνάμπτων μυχῶν,
εὖτέ μιν ἀγγελίαις Εὐρυσθέος ἔντυ' ἀνάγκα πατρόθεν
χρυσόκερων ἔλαφον θήλειαν ἄξονθ', ἅν ποτε Ταϋγέτα·
ἀντιθεῖσ' Ὀρθωσίᾳ ἔγραψεν ἱράν.

[στρ. γ'.
τὰν μεθέπων ἴδε καὶ κείναν χθόνα πνοιαῖς ὄπιθεν Βορέα
ψυχροῦ. τόθι δένδρεα θαύμαινε σταθείς.
τῶν νιν γλυκὺς ἵμερος ἔσχεν δωδεκάγναμπτον περὶ τέρμα δρόμου
ἵππων φυτεῦσαι. καί νυν ἐς ταύταν ἑορτὰν ἵλαος ἀντιθέοισιν νίσσεται
σὺν βαθυζώνου διδύμνοις παισὶ Λήδας.

[ἀντ. γ'.
τοῖς γὰρ ἐπέτραπεν Οὔλυμπόνδ' ἰὼν θαητὸν ἀγῶνα νέμειν

V. 23. ἀλλά entspr. dem μέν in V. 19. — Verb. χῶρος Πέλοπος ἐν β. Κρονίου.

V. 25. θυμὸς ὥρμαινε πορεύειν νιν, sein Geist dachte daran, ihn zu führen in den Theil des istrischen Landes (an die Quellen des I.), wo ihn vordem Art. aufgenommen hatte, als er die arkadische Hindin verfolgte (Apollod. 2, 5, 3.).

V. 26. ἱπποσόα. Artemis liebte wasserreiche Gegenden, wo das Pferd vorzüglich gedeiht. Daher das Beiwort, welches übrigens hier besonders mit Rücksicht auf die Kampfspiele gewählt ist.

V. 28. ἔντυε. Theogn. 196. No. 9. — ἀνάγκα πατρόθεν, der vom Vater Zeus ihm auferlegte Zwang. Hom. Il. 19, 96 ff.

V. 29. χρυσόκερων. Auch Anakreon und andere Dichter geben dem weiblichen Hirsche Hörner. — Ταϋγέτα, Tochter des Atlas. — ἀντιθεῖσα — ἱράν. λέγεται ὅτι, ἡνίκα Ἡρ. παρέσχεν αὐτὴν Εὐρυσθεῖ, τότε εὑρέθη ἐπὶ τοῦ τραχήλου αὐτῆς γεγραμμένον· Ταϋγέτη ἱερὰν ἀνέθηκεν Ἀρτέμιδι. Sch. — Ὀρθωσία, Artemis.

V. 33. Mit diesem V. kehrt P. zu V. 25. zurück.

V. 34—45. Der Dichter wendet sich wieder zu dem Feste der Theoxenien und dem Siege des Th. Herakles, der Stifter und Schirmer der Olympien, der den Oelbaum nach Ol. gebracht, kommt heute mit den Dioskuren zu der Doppelfeier.

ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου
διφρηλασίας. ἐμὲ δ' ὦν πᾶς θυμὸς ὀτρύνει φάμεν Ἐμμε-
νίδαις
Θήρωνί τ' ἐλθεῖν κῦδος εὐίππων διδόντων Τυνδαριδᾶν,
ὅτι πλείσταισι βροτῶν
ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,

εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς. [ἐπ. γ'.
εἰ δ' ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ χρυσὸς αἰδοιέ-
στατον·
νῦν γε πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται
οἴκοθεν Ἡρακλέος σταλᾶν. τὸ πόρσω δ' ἐστὶ σοφοῖς
ἄβατον
κἀσόφοις. οὔ μιν διώξω· κεινὸς εἴην.

V. 42. cf. Ol. 1. in. „Wie das Wasser das Beste ist unter den natürlichen Dingen, das Gold unter dem Besitz, so hat Th. jetzt den glänzendsten der Siege, einen olympischen, errungen und hat dadurch die Säulen des Herakles erreicht.“ Diese galten bei P. oft als Bild für das äusserste Ziel menschlichen Glückes. Es gab ein Sprüchwort: τὰ πέρα Γαδείρων οὐ περατά.

V. 44. οἴκοθεν, von Hause aus (vom Heerde der Väter, Humboldt) gelangte Th. bis zu den Säulen des H. (die Länge des Weges bis zum Ziele). — σοφοῖς κἀσόφοις. cf. zu Ol. 2, 16.

V. 45. οὔ μιν διώξω, statt den Th. direct zu mahnen, wendet sich der Dichter auf eine feine Weise an sich selbst. — εἴην, siehe zu Ol. 10, 21.

---

11. Pyth. I.

Hieron, der König von Syrakus, erlangte den Sieg, auf welchen dieses grossartigste und erhabenste Lied aller Zeiten gedichtet ist, in der 29. Pythiade, d. i. Ol. 76, 3. v. Chr. 474, und liess bei der Verkündigung des Sieges die Stadt Aetna als seinen Wohnsitz ausrufen. Diese Stadt hatte er zwei Jahre vorher an der Stelle von Katana, dessen Bürger er nach Leontion verpflanzt hatte, neu gegründet und seinem Sohne Deinomenes übergeben, der sie nach dorischer Verfassung regieren sollte. In demselben Jahre, wo Hieron diesen pythischen Sieg gewann, schlug er in blutiger Schlacht die Hetrusker bei Kyme; Ol. 75, 1. v. Chr. 480. hatte er in einer noch berühmteren Schlacht mit seinem Bruder Gelon die Karthager bei Himera geschlagen. So ist dieser König mit ruhmreichen Siegen gekrönt, aber er leidet an einer schmerzhaften Krankheit (am Steine). — Das Lied wurde bei einem Festmahle zu Aetna gesungen.

Inhalt. V. 1—28. Anruf der Phorminx, des gemeinsamen Besitzes Apollons und der Musen; sie herrscht bei den heiteren Festen, selbst über die Götter übt sie ihre Gewalt, über die Majestät des Zeus und den kriegerischen Sinn des Ares (V. 1—12.). Aber was Zeus nicht liebt, das schaudert zurück vor den Tönen der Musen, auf der Erde, im Meere und unter der Erde, wie der Götterfeind Typhon, der, von Zeus bewältigt, jetzt unter Sicilien bis hinauf nach den Küsten Kymes ausgestreckt liegt, auf qualvollem Lager belastet von dem Aetna, aus dem er furchtbare Flammen ausspeit. — V. 29—42. Uebergang zu dem Siege des Hieron und der Stadt Aetna, als deren Bürger Hieron sich zu Pytho hatte ausrufen lassen. Möge es gelingen, Zeus, dir zu gefallen, der du den Berg Aetna in Obhut hast, nach dem die neue Stadt benannt ist. Zeus möge sie schützen und er nebst Apollon nach dieser ersten Ehre ihr noch weitere Ehren zu Theil werden lassen. Von den Göttern ja kommt den Sterblichen alle Weisheit, Kraft und Tugend. — V. 43—57. Jener Mann nun (den von den Göttern gesegneten Hieron) gedenke ich zu loben. Brächte doch die ganze Folgezeit so ihm Segen und Vergessen der Noth; dann würde er sich seiner einstigen Tapferkeit in ruhmreichen Kriegen erinnern. Jetzt freilich zog er zum Kampfe gegen die Tyrrhener aus, krank wie Philoktetes, als er, durch die stolzen Atriden von Lemnos geholt, Troia besiegte. Möge auch so den Hieron ein Gott hülfreich aufrichten. — V. 58—66. Auch Deinomenes soll des Sieges und des Siegesliedes sich erfreuen, dem sein Vater diese Stadt Aetna gegründet hat mit der Freiheit und den Satzungen guter dorischer Ordnung, in der die Herakliden immer bleiben wollen, wie die Spartaner, die speerberühmten. — V. 67—75. Möge, o Zeus, die Stadt Aetna sich stets des Glückes erfreuen, das Hieron ihr jetzt gegründet hat; möge sie unter Leitung des Hieron und seines Sohnes im Innern einträchtige Ruhe geniessen und durch ihre Kraft nach aussen Frieden, dass der Punier Ruhe halte und der Tyrrhener, da er vor Kyme das Verderben seiner Flotte erfahren. — V. 75—84. Bei Salamis erwarben die Athener Ruhm, bei Platäa die Spartaner, da die Meder erlagen, bei Himera Hieron und seine Brüder. Doch durch kurzes Lob entgeht man dem Tadel der Menschen und dem Neide der Bürger. — V. 85—100. Doch, Neid ist besser als Mitleid, höre nicht auf nach dem Schönen zu streben: sei gerecht als Regent, sei wahrhaft, sei freigebig und mildthätig, wenn du süsse Nachrede liebst; des Kroisos liebreiche Tugend wird nicht vergessen, vom grausamen Phalaris geht verabscheuende Sage, ihn feiert nicht ein liebliches Lied. Wer Wohlergehen und guten Ruf vereinigt, hat den höchsten Preis.

Der Sieger Hieron hatte zwei Jahre vor diesem pythischen Siege die Stadt Aetna gegründet und hat sie bei Verkündigung seines Sieges zu Delphi als seinen Wohnsitz, als Siegerin ausrufen lassen. Das Siegesfest, zu welchem diese Ode bestimmt ist, wird zu Aetna gefeiert. Bei einer neu gegründeten Stadt tritt der Gedanke an Ordnung und Gesetz, an Eintracht und Ruhe, wodurch das Wohl der Bürger bedingt ist, besonders

in den Vordergrund, und es liegt für den Dichter, der der neuen Stadt und ihrem Gründer zu Ehren ein Lied singt, nahe, diesen Begriff der gesetzlichen Ordnung und Harmonie für den Hauptgedanken seines Gedichtes zu verwenden. Dieser Hauptgedanke, der zwar nirgends direct ausgesprochen wird, aber als Grundlage des ganzen Gedichtes überall hervorblickt, ist: die Harmonie, die schöne Ruhe der Ordnung in der Natur, im sittlichen Leben und im Staate ist dem Zeus lieb und steht unter seinem Schutze; die rohe und wilde, der Ordnung widerstrebende Gewalt schlägt er. — Zeus, der als Aitnaios auf dem Berge Aetna waltet (V. 30.) und gewiss in der neu gegründeten Stadt eine besondere Verehrung genoss, ist der Gründer und höchste Hüter der Ordnung; der Aetna selbst erinnert an diese seine Eigenschaft. Nachdem er nach Besiegung der rohen Titanen die neue Ordnung der Welt gegründet hatte, da erhob sich gegen ihn und die olympischen Götter das wilde Ungeheuer Typhon und drohte wieder alles zu zerstören; aber die mächtige Hand des Gottes überwältigte ihn und fesselte ihn unter der Erde; er liegt unter Sicilien und dem Aetna bis hinauf zu den Küsten von Kyme. Das wilde Toben des Aetna ist ein Zeichen seiner Qual und seiner ohnmächtigen Wuth. Nach der Beschreibung der aus der nächsten Nähe von der Stadt Aetna hergenommenen grossartigen Naturerscheinung, worin der Gläubige die Strafe jenes Ungeheuers und die Macht des höchsten Gottes aller Ordnung erkennt, ruft der Dichter gleichsam erschreckt und erschüttert aus: Möge es gelingen, Zeus, dir zu gefallen (V. 29.)! Worte, welche sich auf alle erstrecken, die sich an der Feier betheiligen, auf Hieron und Deinomenes, und besonders auch auf die Stadt, die an dem Fusse jenes Berges liegt. Hieron aber ist ein Mann, der dem Zeus vor allen wohlgefällt und von ihm gesegnet ist; er ist gleichsam ein Heros im Dienste des Zeus auf Erden, der mit weisem Sinn gesetzliche Ordnung gegründet hat und erhält, wie man in seinen Anordnungen in Aetna erkennen kann, und der zugleich mit gewaltiger Hand die Feinde der Ordnung, die wilde Fluth der übermüthigen Barbaren gebrochen hat. Wie im Osten Athen und Sparta gegen die Perser, so hat Hieron im Westen gegen deren Bundesgenossen, die Karthager und Tyrrhener, das geordnete und gesittete Leben, die Bildung Griechenlands geschützt. Die Karthager warf er bei Himera, die Tyrrhener bei Kyme nieder, an denselben Stellen, wo der von Zeus darniedergeworfene Typhon gefesselt liegt. So wirkt Hieron im Dienste des Zeus auf eine dem Gotte wohlgefällige Weise. Auch die am Schlusse folgenden Ermahnungen an denselben, in dem Streben nach Schönem und Hohem fortzufahren (V. 86.), Gerechtigkeit zu üben und Wahrhaftigkeit und milde Freigebigkeit, königliche Tugenden, die zur Ruhe und Eintracht und zur Wohlfahrt des Staates beitragen, beruhen, sowie die an verschiedenen Stellen eingestreuten Bitten für die neue Stadt (V. 29 ff. 67 ff.), auf demselben oben angeführten Grundgedanken.


Dass neben Zeus auch Apollon (V. 39.) für die neue Stadt angefleht wird, beruht nicht blos auf dem Umstande, dass der Sieg des Hieron und

der Stadt Aetna bei seinem Heiligthum zu Delphi errungen ist, und auf seiner Beziehung zu den Musen und der Musik (s. unten), sondern auch darauf, dass Apollon zu Pytho der Verkünder des Willens seines Vaters ist und so durch Vermittlung seines Orakels die Ordnung des Zeus in der Menschenwelt hat einführen helfen, dass namentlich die dorischen Gesetze, nach denen ja auch die neue Stadt geordnet ist, an dem delphischen Apollon ihren Begründer und Schützer haben. Ja man könnte in dem Verhältnisse des Hieron zu seinem Sohne Deinomenes, dem er Aetna übergeben hat, um sie nach dorischen Gesetzen zu regieren, eine Parallele finden zu dem Verhältnisse des Zeus zu seinem Sohne Apollon.


Auch der Eingang des Liedes, wo von dem Nächstliegenden ausgegangen wird, von der Phorminx, wird getragen von dem Hauptgedanken. Die Phorminx, ein gemeinsamer Besitz Apollons und der Musen, die Schöpferin der schönen Harmonie, die Führerin geregelter Festesfreude, ist gleichsam ein Symbol aller Ordnung und ist dem Zeus lieb und allen, die mit ihm in Zusammenhang sind, alles Rohe und Gesetzlose aber widerstreitet ihr; sie preiset die, welche, dem Zeus wohlgefällig, nach Edlem und Schönem streben, doch Unholde, wie Phalaris (V. 95.), bleiben ihr fern. Dieser Gedanke am Schlusse des Liedes leitet auf den Anfang zurück. (Vergl. Rauchenst. zur Einleitung in Pindars Siegeslieder p. 143 ff.)

ΙΕΡΩΝΙ ΑΙΤΝΑΙῼ
ΑΡΜΑΤΙ.

Strophae.



Epodi.



Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων [στρ. α΄.

V. 1. Die Construction der ersten Verse ist anakoluth. Auf die Anrede der Leier, an welche sich τᾶς ἀκούει etc. relativisch anschliesst, müsste als Hauptsatz folgen der Inhalt von V. 5 ff.; da aber die

σύνδικον Μοισᾶν κτέανον· τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά,
πείθονται δ' ἀοιδοὶ σάμασιν,
ἀγησιχόρων ὁπόταν προοιμίων ἀμβολὰς τεύχῃς ἐλελιζομένα.
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός. εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός, ὠκεῖαν πτέρυγ' ἀμφοτέρωθεν χαλάξαις,

ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν [ἀντ. α'.
ἀγκύλῳ κρατί, γλεφάρων ἁδὺ κλαΐστρον, κατέχευας· ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βιατὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπών

